**Algunes esposes de Zeus**

Ζεὺς δὲ γαμεῖ μὲν Ἥραν, καὶ τεκνοῖ Ἥβην, Εἰλείθυιαν, Ἄρην, μίγνυται δὲ πολλαῖς θνηταῖς τε καὶ ἀθανάτοις γυναιξίν. ἐκ μὲν οὖν Θέμιδος τῆς Οὐρανοῦ γεννᾷ θυγατέρας ὥρας. Εἰρήνην, Εὐνομίαν, Δίκην, μοίρας, Κλωθὼ, Λάχεσιν, Ἄτροπον, ἐκ Διώνης δὲ Ἀφροδίτην, ἐξ Εὐρυνόμης δὲ τῆς Ὠκεανοῦ χάριτας, Ἀγλαΐην, Εὐφροσύνην, Θάλειαν, ἐκ δὲ Στυγὸς Περσεφόνην, ἐκ δὲ Μνημοσύνης μούσας, πρώτην μὲν Καλλιόπην, εἶτα Κλειὼ, Μελπομένην, Εὐτέρπην, Ἐρατὼ, Τερψιχόρην, Οὐρανίαν, Θάλειαν, Πολυμνίαν.

Apol·lodor, *Biblioteca mitològica*, I 3 1